τον δευτέρου ἰσάκις ἔσται πολλαπλάσιον. καὶ τρίτον καὶ ἕκτον τετάρτου· πρῶτον γὰρ τὸ ΑΒ δευτέρου τοῦ Γ ἰσάκις ἔστω πολλαπλάσιον. καὶ τρίτον τὸ ΔΕ τετάρτου τοῦ Ζ· ἔστω δὲ καὶ πέμπτον τὸ ΒΗ δευτέρου τοῦ Γ ἰσάκις πολλαπλάσιον. καὶ ἕκτον τὸ ΕΘ τετάρτου τοῦ Ζ· λέγω ὅτι καὶ συντεθὲν πρῶτον καὶ πέμπτον τὸ ΑΗ δευτέρου τοῦ Γ ἰσάκις ἔσται πολλαπλάσιον. καὶ τρίτον καὶ ἕκτον τὸ ΔΘ τετάρτου τοῦ Ζ· ἐπεὶ γὰρ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΑΒ τοῦ Γ καὶ τὸ ΔΕ τοῦ Ζ· ὅσαι ἄρα εἰσὶν ἐν τῷ ΑΒ ἴσαι τῷ Γ. τοσαῦται καὶ ἐν τῷ ΔΕ ἴσαι τῷ Ζ· διὰ τὰ αὐτὰ δὴ καὶ ὅσαι εἰσὶν ἐν τῷ ΒΗ ἴσαι τῷ Γ. τοσαῦται καὶ ἐν τῷ ΕΘ ἴσαι τῷ Ζ· ὅσαι ἄρα εἰσὶν ἐν ὅλῳ τῷ ΑΗ ἴσαι τῷ Γ. τοσαῦται καὶ ἐν ὅλῳ τῷ ΔΘ ἴσαι τῷ Ζ· ὁσαπλάσιον ἄρα ἐστὶ τὸ ΑΗ τοῦ Γ. τοσαυταπλάσιον ἔσται καὶ τὸ ΔΘ τοῦ Ζ· καὶ συντεθὲν ἄρα πρῶτον καὶ πέμπτον τὸ ΑΗ. δευτέρου τοῦ Γ ἰσάκις ἔσται πολλαπλάσιον. καὶ τρίτον καὶ ἕκτον τὸ ΔΘ τετάρτου τοῦ Ζ· ἐὰν ἄρα πρῶτον δευτέρου ἰσάκις ᾖ πολλαπλάσιον καὶ τρίτον τετάρτου. ᾖ δὲ καὶ πέμπτον δευτέρου ἰσάκις πολλαπλάσιον. καὶ ἕκτον τετάρτου. καὶ συντεθὲν πρῶτον καὶ πέμπτον δευτέρου ἰσάκις ἔσται πολλαπλάσιον. καὶ τρίτον καὶ ἕκτον τετάρτου· ὅπερ ἔδει δεῖξαι:–



Γ Ἐὰν πρῶτον δευτέρου ἰσάκις ᾖ πολλαπλάσιον. καὶ τρίτον τετάρτου. ληφθῇ δὲ ἰσάκις πολλαπλάσια τοῦ πρώ-

του καὶ τρίτου. καὶ δι' ἴσου τῶν ληφθέντων ἑκάτερον ἑκατέρου ἰσάκις ἔσται πολλαπλάσιον τὸ μὲν τοῦ δευτέρου. τὸ δὲ τοῦ τετάρτου· πρῶτον γὰρ τὸ Α δευτέρου τοῦ Β ἰσάκις ἔστω πολλαπλάσιον. καὶ τρίτον τὸ Γ τετάρτου τοῦ Δ. καὶ εἰλήφθω τῶν Α Γ ἰσάκις πολλαπλάσια τὰ ΕΖ ΗΘ· λέγω ὅτι ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΕΖ τοῦ Β. καὶ τὸ ΗΘ τοῦ Δ· ἐπεὶ γὰρ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΕΖ τοῦ Α. καὶ τὸ ΗΘ τοῦ Γ. ὅσαι ἄρα εἰσὶν ἐν τῷ ΕΖ ἴσαι τῷ Α. τοσαῦται καὶ ἐν τῷ ΗΘ ἴσαι τῷ Γ· διῃρήσθω τὸ μὲν ΕΖ εἰς τὰ τῷ Α μεγέθη ἴσα τὰ ΕΚ ΚΖ· τὸ δὲ ΗΘ εἰς τὰ τῷ Γ ἴσα τὰ ΗΛ ΛΘ· ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν ΕΚ ΚΖ τῷ πλήθει τῶν ΗΛ ΛΘ· καὶ ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ Α τοῦ Β καὶ τὸ Γ τοῦ Δ. ἴσον δὲ τὸ μὲν ΕΚ τῷ Α τὸ δὲ ΗΛ τῷ Γ. ἰσάκις ἄρα ἐστὶ πολλαπλάσιον τὸ ΕΚ τοῦ Β καὶ τὸ ΗΛ τοῦ Δ· διὰ τὰ αὐτὰ δὴ ἰσάκις ἐστὶ πολλαπλάσιον τὸ ΚΖ τοῦ Β καὶ τὸ ΛΘ τοῦ Δ· ἐπεὶ οὖν πρῶτον τὸ ΕΚ δευτέρου τοῦ Β ἰσάκις ἐστὶ πολλαπλάσιον. καὶ τρίτον τὸ ΗΛ τετάρτου τοῦ Δ. ἔστι δὲ καὶ πέμπτον τὸ ΚΖ δευτέρου τοῦ Β ἰσάκις πολλαπλάσιον. καὶ ἕκτον τὸ ΛΘ τετάρτου τοῦ Δ. καὶ συντεθὲν ἄρα πρῶτον καὶ πέμπτον τὸ ΕΖ δευτέρου τοῦ Β ἰσάκις ἐστὶ πολλαπλάσιον. καὶ τρίτον καὶ ἕκτον τὸ ΗΘ τετάρτου τοῦ Δ. ἐὰν ἄρα πρῶτον δευτέρου ἰσάκις ᾖ πολλαπλάσιον καὶ τρίτον τετάρτου. ληφθῇ δὲ τοῦ